μάττω, περιφέρω τα.[.......το]υτονί·
ὑπὸ τοῦ καπνοῦ τυφλὸς [.....]ς τούτοις. ὄνος
ἄγειν δοκῶ μοι τὴν ἑορτή[ν.
Σω. π]αῖ, Γέτα.
Γε. ἐμὲ τίς;
(Σω.) ἐγώ.
(Γε.) σὺ δ' ε⟨ἶ⟩ τίς;
(Σω.) οὐχ [ὁρᾷ]ς;
(Γε.) ὁρῶ·
τρόφιμος.
(Σω.) τί πο⟨ι⟩εῖτ' ἐνθάδ'; [εἰ]πέ μοι.
(Γε.) τί γάρ;
τεθύκαμεν ἄρτι καὶ παρασκευάζομεν
ἄριστον ὑμῖν.
(Σω.) ἐνθάδ' ἡ μήτηρ;
(Γε.) πάλαι.
(Σω.) ὁ πατὴρ δέ;
(Γε.) προσδοκῶμεν· ἀ[λ]λὰ πάραγε σύ.
(Σω.) μικρὸν διαδραμὼν ἐνθαδί. τρ[ό]πον τινὰ
γέγον' οὐκ ἄκαιρος ἡ θυσία. παραλήψομαι
τὸ μειράκιον τουτί, παρελθὼν ὡς ἔχω,
καὶ τὸν θεράποντ' αὐτοῦ· κεκοινωνηκότες
ἱερῶν γὰρ εἰς τὰ λοιπὰ χρησιμώτεροι
ἡμῖν ἔσονται σύμμαχοι πρὸς τὸν γάμον.
(Γε.) τί φής; ἐπ' ἄριστόν τινας παραλαμβάνειν
μέλλεις πορευθείς; ἕνεκ' ἐμοῦ τρισχίλιοι
γένοισθ'. ἐγὼ μὲν γὰρ πάλαι τοῦτ' οἶδ', ὅτι
οὐ γεύσομ' οὐδενός· πόθεν γάρ; συνάγετε